## XIV

δειλαίη, τί σε πρῶτον ἔπος, τί δὲ δεύτατον εἴπω;
  δειλαίη· τοῦτ᾽ ἐν παντὶ κακοῦ ἔτυμον.
οἴχεαι, ὦ χαρίεσσα γύναι, καὶ ἐς εἴδεος ὥρην
  ἄκρα καὶ εἰς ψυχῆς ἦθος ἐνεγκαμένη.
Πρώτη σοι ὄνομ᾽ ἔσκεν ἐτήτυμον· ἦν γὰρ ἅπαντα
  δεύτερ᾽ ἀμιμήτων τῶν ἐπὶ σοὶ χαρίτων.

## XV

Γῆ μευ καὶ μήτηρ κικλήσκετο, γῆ με καλύπτει
  καὶ νέκυν· οὐ κείνης ἥδε χερειοτέρη.
ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον, ἐκ δέ με μητρός
  ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
κεῖμαι δ᾽ ἐν ξείνῃ ὑπὸ χερμάδι μακρὰ γοηθεὶς
  Ἴναχος εὐπειθὴς Κριναγόρου θεράπων.

## XVI

δείλαιοι, τί κεναῖσιν ἀλώμεθα θαρσήσαντες
  ἐλπίσιν ἀτηροῦ ληθόμενοι θανάτου;
ἦν ὅδε καὶ μύθοισι καὶ ἤθεσι πάντα Σέλευκος
  ἄρτιος, ἀλλ᾽ ἥβης βαιὸν ἐπαυρόμενος
ὑστατίοις ἐν Ἴβηρσι τόσον δίχα τηλόθι Λέσβου
  κεῖται ἀμετρήτων ξεῖνος ἐπ᾽ αἰγιαλῶν.

## XVII

ἠρνήσαντο καὶ ἄλλαι ἑὸν πάρος οὔνομα νῆσοι
  ἀκλεές, ἐς δ᾽ ἀνδρῶν ἦλθον ὁμωνυμίην·